Ακαδημία Αθηνών / Academy of Athens



*σκει φρονεῖν, ἀλλ' ὡραίη τ ρ ο φ ὴ καὶ φύσις.* Πρβλ. *τεκνοτροφίη.*

**τροχός.** Τροχός, wheel, 'Αναξίμανδρος Α 21 (DK I 87,5 *καὶ* 11) *τ ρ ο χ ο ῦ ... τ ρ ο χ ῷ* Α 22 (DK I 87,21) *τ ρ ο χ ο ῦ.*

**τυγχάνειν 1.** Συμβαίνει κατὰ τύχη, it happens by chance, Ξενοφάνης 34.3 *εἰ γὰρ καὶ τὰ μάλιστα τ ύ χ ο ι τετελεσμένον εἰπών, αὐτὸς ὅμως οὐκ οἶδε* **2.** Συναντῶ/λαβαίνω, meet/obtain, 'Εμπεδοκλῆς 75.2 *Κύπριδος ἐν παλάμησι πλάδης τοιῆσδε τ υ χ ό ν τ α* 85 *ἡ δὲ φλὸξ ἱλάειρα μινυνθαδίης τ ύ χ ε γαίης* Δημόκριτος 166 *εὐλόγχων τ υ χ ε ῖ ν εἰδώλων* **3.** 'Επιτυχαίνω/κατορθώνω, succeed in/achieve, Δημόκριτος 228.3-5 *ὥσπερ οἱ ὀρχησταὶ οἱ ἐς τὰς μαχαίρας ὀρούοντες, ἢν ἑνὸς μούνου ⟨μὴ⟩ τ ύ χ ω σ ι καταφερόμενοι, ἔνθα δεῖ τοὺς πόδας ἐρεῖσαι, ἀπόλλυνται (χαλεπὸν δὲ τ υ χ ε ῖ ν ἑνός)* 243 *τῆς ἡσυχίης πάντες οἱ πόνοι ἡδίονες, ὅταν ὧν εἵνεκεν πονέουσι τ υ γ χ ά ν ω σ ι ν ἢ εἰδέωσι κύρσοντες.* Πρβλ. *κύρειν.*

**τύπος.** Τύπος/μορφή, type/form, 'Εμπεδοκλῆς 62.4 *οὐλοφυεῖς μὲν πρῶτα τ ύ π ο ι χθονὸς ἐξανέτελλον* Δημόκριτος 228.7 *ἢν ἁμάρτωσι τοῦ πατρικοῦ τ ύ π ο υ τοῦ ἐπιμελέος καὶ φειδωλοῦ.*

**τυραννία** (τύπ. *τυραννίη*). Τυραννία, tyranny, Ξενοφάνης 3.2 *ὄφρα τ υ ρ α ν ν ί η ς ἦσαν ἄνευ στυγερῆς.*

**τυφλός.** Τυφλός, blind, Παρμενίδης 6.7 *κωφοὶ ὁμῶς τ υ φ λ ο ί τε, τεθηπότες, ἄκριτα φῦλα.* Πρβλ. *τυφλοῦν, τυφλότης.*

**τυφλότης.** Τύφλωση/τύφλα, blindness, Δημόκριτος 175.5 *διὰ νοῦ τ υ φ λ ό τ η τ α καὶ ἀγνωμοσύνην.* Πρβλ. *τυφλός, τυφλοῦν.*

**τυφλοῦν.** Τυφλώνω/σκοτίζω, blind/darken, Δημόκριτος 72 *αἱ περί τι σφοδραὶ ὀρέξεις τ υ φ λ ο ῦ σ ι ν εἰς τἄλλα τὴν ψυχήν.*

**τύχη 1.** Τύχη ὡς ἀντίθετη πρὸς τὴν 'Ανάγκη, Chance as opposed to Necessity, 'Εμπεδοκλῆς 103 *τῇδε μὲν οὖν ἰότητι Τ ύ χ η ς πεφρόνηκεν ἅπαντα* **2.** Τύχη σὲ ἀντιδιαστολὴ πρὸς τὴν ἐλευθε-



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ